PSEUDO-PHOCYLIDES

SENTENTIAE

WITH RESTART

EPIC POEM .ORG

DIGITAL CLASSICS

INTERLEAVABLE

🇺🇸 3.0

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this PUBLIC DOMAIN TEXT is available for free at ARCHIVE.ORG (LINK).

The **RESTRICTED INTERLEAVED LAYOUT** of this PUBLIC DOMAIN TEXT requires a license available only at SEAHANDPRESS.COM (LINK).

Notes

Notes

Pseudo-Phocylides Sententiae

δείξηις ἠελίωι, καὶ δαιμόνιον χόλον ὄρσηις.
οὐ καλὸν ἁρμονίην ἀναχλυέμεν ἀνθρώποιο.
καὶ τάχα δ᾽ ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψιαν᾽ ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι·
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
σῶμα δ᾽ ἄρ᾽ ἐκ γαίης ἔχομεν, καὶ πᾶν τόδ᾽ ἐς αὐτήν
λυόμενον κόνις ἐστίν· ἀὴρ δ᾽ ἀνὰ πνεῦμα δέδεκται.
πλούτου μὴ φείδου· μέμνησ᾽ ὅτε θνητὸς ὑπάρχεις,
οὐκ ἔν᾽ ἐς Ἅιδην ὄλβον ἔχειν, καὶ χρήματ᾽ ἄγεσθαι.
πάντες ἴσοι νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅιδης·
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ᾽ ἐπὶ καιρόν·
ψυχὴ δ᾽ ἀθάνατος καὶ ἀγήρως ζῆι διὰ παντός.
μήτε κακοῖς ἄχθου, μήτ᾽ οὖν ἐπαγάλλεο χάρμηι·
πολλά τοι ἐν βιότωι καὶ θαρσαλέοισιν ἄπιστα.
καιρῶι λατρεύειν, μηδ᾽ ἀντιπνέειν ἀνέμοισι·
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
μὴ μεγαληγορίηισι τρυφῶν φρένα λυσσωθείης·
εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει·
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστωι νεῖμε θεός· φύσιν ἠερόφοιτον
ὄρνισι μέν· πώλοις ταχυτῆτ᾽ ἀλκὴν τε λέουσι,
ταύροις δ᾽ αὐτόχυτον κέρας ἐστίν· κέντρα μελίσσαις
L1[O] ἔμφυτον ἄλκαρ ἔδωκε· λόγος δ᾽ ἔρυμ᾽ ἀνθρώποισι·
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾶι.
οὐχ᾽ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄδεικτον·
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκηι·
μὴ κακὸν εὖ ἔρξηις· σπείρειν ἴσον ἐστ᾽ ἐνὶ πόντωι.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
φωρῶν μὴ δέξηι κλοπίμην ἀνδρῶν παραθήκην·
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας·
μοίρας πᾶσι νέμειν, ἰσότης δ᾽ ἐν πᾶσιν ἄριστον.
ἀρχόμενος φείδου πάντων, μὴ τέρμ᾽ ἐπιδεύηις.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
κτῆνος δ᾽ ἢν ἐχθροῖο πέσηι καθ᾽ ὁδὸν, συνέγειρον·
βέλτερον ἀντ᾽ ἐχθροῖο τυχεῖν φίλον εὐμενέοντα.
ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ᾽ ἀκέσασθαι.
φεῦγε διχοστασίας καὶ ἔριν, πολέμου προσιόντος.
φάρμακα μὴ τεύχειν: μαγικῶν βίβλων ἀπέχεσθαι.
ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύηις·
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
μηδ᾽ ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
ἀλλ᾽ ἀπὸ τῶν ἰδίων βιότων φαγέοις ἀνύβριστος.
μηδέ τι θηρόβορον δαίσηι κρέας· ἀργίποσιν δέ
λείψανα λεῖπε κυσίν· θηρῶν ἄπο θῆρες ἔδονται.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλληι.
ἔστι βίωι πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλησθα.

PSEUDO-PHOCYLIDES SENTENTIAE

WITH RESTART

EPIC POEM .ORG

DIGITAL CLASSICS

THESE LINES HAVE CONVERGED TO TELL
A STORY THAT SATISFIES ME IN MY HEART,
WHERE ONLY THERE IT REALLY COUNTS.

INTERLEAVABLE

language: Homeric Greek (ii CE)
copy text: J.B Feuling (1869)
typeface: Sea Hand Press 20

This **UNRESTRICTED INTERLEAVABLE LAYOUT** of this **PUBLIC DOMAIN TEXT** is available for free at ARCHIVE.ORG (LINK).

EPICPOEM.ORG 🇺🇸 203 lines 3.0

As some way-faring Man, who wanders o'er
In Thought, a Length of Lands he trod before,
Sends forth his active Mind from Place to Place,
Joins Hill to Dale, and measures Space with Space:

PRINT 2-SIDED: **3** to **6**

ΠΡΩΤΑ θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας·
μήτε δόλους ῥάπτειν, μήθ᾽ αἵματι χεῖρα μιαίνειν.
◆ μὴ πλουτεῖν ἀδίκως, ἀλλ᾽ ἐξ ὁσίων βιοτεύειν,
ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ᾽ ἐτήτυμα πάντ᾽ ἀγορεύειν.
μηδ᾽ ἕτερον κεύθοις κραδίηι νόον, ἀλλ᾽ ἀγορεύων,
μηδ᾽ ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου·
πᾶσιν δ᾽ ἁπλόος ἴσθι, τὰ δ᾽ ἐκ ψυχῆς ἀγόρευε,
πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψηις πενίην· ἀδίκως μὴ κρῖνε πρόσωπον,
ἣν σὺ κακῶς δικώσηις, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν· τὰ δίκαι᾽ ἀγορεύειν.
παρθενίην τηρεῖν· πίστιν δ᾽ ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ᾽ ἐπίμετρον ἅπασι·
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ᾽ ἴσον ἕλκειν.
Μήτ᾽ ἐπιορκεῖν, μήτ᾽ ἀγνοίηι, μήτε ἑκοντί·
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσει.
γλώσσηι νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος, ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
μήτ᾽ ἀδικεῖν ἐθέληις, μήτ᾽ οὖν ἀδικοῦντα ἐάσηις.
ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἀλλ᾽ ὑπ᾽ ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴν δ᾽ εὐθύνεθ᾽ ἑκάστου·
πτωχῶι δ᾽ εὐθὺ δίδου, μηδ᾽ αὔριον ἐλθέμεν εἴπηις.
πληρώσας σέο χεῖρ᾽, ἔλεον χρήζοντι παράσχου.
LI[I] ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει·
πλαζόμενον δὲ βροτὸν καὶ ἀλίτροπον οὐχ ὑπαλύξεις.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου, σῶσον δ᾽ ἀπερίστωτον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος.
πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν σοι ἔδωκε θεὸς, τούτων χρήιζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.
τὸ ξίφος ἀμφιβαλοῦ, μὴ πρὸς φόνον, ἀλλ᾽ ἐς ἄμυναν·
εἴθε δὲ μὴ χρήιζοις μήτ᾽ ἔννομα, μήτ᾽ ἀδίκως γε·
ἢν γὰρ ἀποκτείνηις ἐχθρὸν σέο, χεῖρα μιαίνεις.
ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ᾽ ἂρ ὑπερβῆις·
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ᾽ ἀλεειναί.
μηδέ τιν᾽ αὐξόμενον καρπὸν λώβησον ἀρούρης.
ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις·
πάντες γὰρ ξενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ᾽ οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισι.
ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
χρυσὲ, κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων,

εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαν τε, φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
μὴ γαυροῦ σοφίηι, μήτ᾽ ἀλκῆι, μήτ᾽ ἐνὶ πλούτωι·
εἷς θεός ἐστι σοφὸς, δυνατὸς θ᾽ ἅμα, καὶ πολύολβος.

σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαν τε, φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
μὴ γαυροῦ σοφίηι, μήτ᾽ ἀλκῆι, μήτ᾽ ἐνὶ πλούτωι·
εἷς θεός ἐστι σοφὸς, δυνατὸς θ᾽ ἅμα, καὶ πολύολβος.
μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ,
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ᾽ ἄγριον ὀργήν·
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
ἔστω κοινὰ πάθη· μηδὲν μέγα, μηδ᾽ ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
ἡ πολλὴ δὲ τροφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας·
ὑψαυχεῖ δ᾽ ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει.
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
ὀργὴ δ᾽ ἐστὶν ὄρεξις· ὑπερβαίνουσα δὲ, μῆνις.
ζῆλος τῶν ἀγαθῶν, ἐσθλός· φαύλων δὲ, κακοῦργος.
τόλμα κακῶν, ὀλοή· μέγ᾽ ὀφέλλει δ᾽ ἐσθλὰ πονεῦντας.
σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ Κύπριδος, αἶσχος ὀφέλλει.
ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
μέτρωι μὲν φαγέειν, πίνειν καὶ μυθολογεύειν·
μέτρα δὲ τεῦχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
μὴ φθονέσηις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψηις·
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι, νέρθεν ἐοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ᾽ ὁμόνοιαν ἔχουσιν,
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη. L1[I]
σωφροσύνην δ᾽ ἀσκεῖν, αἰσχρῶν δ᾽ ἔργων ἀπέχεσθαι·
μὴ μιμοῦ κακότητα, δίκηι δ᾽ ἀπόλειψον ἄμυναν·
πειθὼ μὲν γὰρ ὄνειαρ· ἔρις δ᾽ ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔνδοντας ἐπὶ πλεόνεσσι καθήκει.
καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
χρὴ δ᾽ ἐν συμποσίωι, κυλίκων περινισσομενάων,
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.
μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους·
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν·
ἀχθόμενοι δ᾽ ὀλίγοις, καὶ πολλοῖς πάντες ἄπληστοι.
μηδέποτε χρήστης πικρὸς γένηι ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω·
μητέρα δ᾽ ἐκπρολίποις, ἵν᾽ ἔχηις πάλι τῆσδε νεοσσούς.
μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσηις·
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνην δ᾽ ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουειν·
Pseudo-Phocylides Sententiae
οὐ γὰρ δὴ νοέουσ᾽ οἱ μηδέποτ᾽ ἐσθλὰ μαθόντες.
λαῶι μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ, ἀκατάσχετα πάντα.
γαῖαν ἐπιμοιρᾶσθαι, ἀταρχύτοις νεκύεσσι.
μὴ τύμβον φθιμένων ἀνορύξηις, μηδ᾽ ἀθέατα

λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.
ἁγνείη ψυχῆς τοῦ σώματός ἐστι καθαρμός.
ταῦτα δικαιοσύνης μυστήρια οἷα βιεῦντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ΠΡΩΤΑ θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας·
μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν,
ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
μηδ' ἕτερον κεύθοις κραδίηι νόον, ἀλλ' ἀγορεύων,
μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου·
πᾶσιν δ' ἁπλόος ἴσθι, τὰ δ' ἐκ ψυχῆς ἀγόρευε,
πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψηις πενίην· ἀδίκως μὴ κρῖνε πρόσωπον,
ἢν σὺ κακῶς δικάσηις, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν· τὰ δίκαι' ἀγορεύειν.
παρθενίην τηρεῖν· πίστιν δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπίμετρον ἅπασι·
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
Μήτ' ἐπιορκεῖν, μήτ' ἀγνοίηι, μήτε ἑκοντί·
ψεύδορκον στυγέει θεὸς ἄμβροτος ὅστις ὀμόσσει.
γλώσσηι νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος, ὅστις ἕληται.
μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
μήτ' ἀδικεῖν ἐθέληις, μήτ' οὖν ἀδικοῦντα ἐάσηις.
ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἀλλ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος· βουλὴν δ' εὐθύνεθ' ἑκάστου·
πτωχῶι δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπηις.
πληρώσας σέο χεῖρ', ἔλεον χρήζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει·
πλαζόμενον δὲ βροτὸν καὶ ἀλίτροπον οὐχ ὑπαλύξεις.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστωτον ἄνδρα.
κοινὰ πάθη πάντων· ὁ βίος τροχός· ἄστατος ὄλβος.
πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
ὧν σοι ἔδωκε θεός, τούτων χρήιζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.
τὸ ξίφος ἀμφιβαλοῦ, μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
εἴθε δὲ μὴ χρήιζοις μήτ' ἔννομα, μήτ' ἀδίκως γε·
ἢν γὰρ ἀποκτείνηις ἐχθρὸν σέο, χεῖρα μιαίνεις.
ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἂρ ὑπερβῆις·
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεειναί.
μηδέ τιν' αὐξόμενον καρπὸν λώβησον ἀρούρης.
ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις·
πάντες γὰρ ξενίης πειρώμεθα τῆς πολυπλάγκτου·
χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισι.
ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
χρυσέ, κακῶν ἀρχηγέ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ,
οὐκ ἔτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν·
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
ἔστω κοινὰ πάθη· μηδὲν μέγα, μηδ' ὑπέροπλον.
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
ἡ πολλὴ δὲ τροφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας·
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει.
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει.
ὀργὴ δ' ἐστὶν ὄρεξις· ὑπερβαίνουσα δέ, μῆνις.
ζῆλος τῶν ἀγαθῶν, ἐσθλός· φαύλων δέ, κακοῦργος.
τόλμα κακῶν, ὀλοή· μέγ' ὀφέλλει δ' ἐσθλὰ πονεῦντας.
σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ Κύπριδος, αἶσχος ὀφέλλει.
ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις.
μέτρωι μὲν φαγέειν, πίνειν καὶ μυθολογεύειν·
μέτρα δὲ τεῦχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
μὴ φθονέσηις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψηις·
ἄφθονοι Οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς·
οὐ χθὼν οὐρανίοις ὑψώμασι, νέρθεν ἐοῦσα·
οὐ ποταμοὶ πελάγεσσιν· ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν,
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
σωφροσύνην δ' ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι·
μὴ μιμοῦ κακότητα, δίκηι δ' ἀπόλειψον ἄμυναν·
πειθὼ μὲν γὰρ ὄνειαρ· ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔνδοντας ἐπὶ πλεόνεσσι καθήκει.
καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις
ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
χρὴ δ' ἐν συμποσίωι, κυλίκων περινισσομενάων,
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.
μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους·
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν·
ἀχθόμενοι δ' ὀλίγοις, καὶ πολλοῖς πάντες ἄπληστοι.
μηδέποτε χρήστης πικρὸς γένηι ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω·
μητέρα δ' ἐκπρολίποις, ἵν' ἔχηις πάλι τῆσδε νεοσσούς.
μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσηις·
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνην δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκουειν·
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
λαῶι μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ, ἀκατάσχετα πάντα.
γαῖαν ἐπιμοιρᾶσθαι, ἀταρχύτοις νεκύεσσι.
μὴ τύμβον φθιμένων ἀνορύξηις, μηδ' ἀθέατα
δείξηις ἠελίωι, καὶ δαιμόνιον χόλον ὄρσηις.
οὐ καλὸν ἁρμονίην ἀναχλυέμεν ἀνθρώποιο.
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.

ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι·
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
◆ σῶμα δ' ἄρ' ἐκ γαίης ἔχομεν, καὶ πᾶν τόδ' ἐς αὐτήν
λυόμενον κόνις ἐστίν· ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
πλούτου μὴ φείδου· μέμνησ' ὅτε θνητὸς ὑπάρχεις,
οὐκ ἔν' ἐς Ἅιδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
πάντες ἴσοι νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅιδης·
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν·
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇι διὰ παντός.
μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμηι·
πολλά τοι ἐν βιότωι καὶ θαρσαλέοισιν ἄπιστα.
καιρῶι λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισι·
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
μὴ μεγαληγορίηισι τρυφῶν φρένα λυσσωθείης·
εὐεπίην ἀσκεῖν, ἥ τις μάλα πάντας ὀνήσει·
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου.
ὅπλον ἑκάστωι νεῖμε θεός· φύσιν ἠερόφοιτον
ὄρνισι μέν· πώλοις ταχυτῆτ' ἀλκὴν τε λέουσι,
ταύροις δ' αὐτόχυτον κέρας ἐστίν· κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε· λόγος δ' ἔρυμ' ἀνθρώποισι·
τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾶι.
L2[I] οὐχ' ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἄδεικτον·
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκηι·
μὴ κακὸν εὖ ἔρξηις· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντωι.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.
φωρῶν μὴ δέξηι κλοπίμην ἀνδρῶν παραθήκην·
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας·
μοίρας πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἄριστον.
ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύηις.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
κτῆνος δ' ἢν ἐχθροῖο πέσηι καθ' ὁδὸν, συνέγειρον·
βέλτερον ἀντ' ἐχθροῖο τυχεῖν φίλον εὐμενέοντα.
ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
φεῦγε διχοστασίας καὶ ἔριν, πολέμου προσιόντος.
φάρμακα μὴ τεύχειν: μαγικῶν βίβλων ἀπέχεσθαι.
ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύηις·
πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
ἀλλ' ἀπὸ τῶν ἰδίων βιότων φαγέοις ἀνύβριστος.
μηδέ τι θηρόβορον δαίσηι κρέας· ἀργίποσιν δέ
λείψανα λεῖπε κυσίν· θηρῶν ἄπο θῆρες ἔδονται.
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλληι.
ἔστι βίωι πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέληισθα.
ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
χρηΐζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.
ἵππους εὐγενέας δίζεσθαι μὲν κατὰ οἶκον.
ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρείους.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
ἔρχονται βιότοιο κεχρημένοι, ὁππότ' ἄρουραι,
λήϊα κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς·
οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν
ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει·
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες
ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
ἠὲ πέτρης κοίλης κατὰ χηρᾶμον, ἢ δονάκεσσιν,
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος, ἔνδοθι σίμβλων
σμήνεσι μυριότρητα κατ' ἄγγεα κηροδομοῦσα.
μὴ μείνηις ἄγαμος, μή πως νώνυμνος ὄληαι.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσηις ἀκάθεκτον,
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθηις φίλον ἦτορ.
στέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέηι φίλα γήραος ἄχρι,
καὶ πόσις ἧι ἀλόχωι, μηδ' ἐμπέσηι ἄνδιχα νεῖκος;
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες.
μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἴκαδ' ἄγεσθαι,
λατρεύειν δ' ἀλόχωι λυγρῆς χάριν εἵνεκα φερνῆς. L2[I]
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα
μηδὲ γάμωι γάμον ἄλλον ἄγοις, ἐπὶ πήματι πῆμα.
μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθοις.
νηπιάχων ἁπαλῶν μὴ ἅψηι χειρὶ βιαίαι.
παισὶ δὲ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι·
ἢν δέ τι παῖς ἀλίτηι, κωλυέτω υἱέα μήτηρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς ἢ δημογέροντες.
μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκάμους ἐπὶ χαίτης·
μὴ κορυφὴν πλέξηις, μήθ' ἅμματα λοξὰ κορύμβων·
ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξί.
παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην·
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι·
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσηις.
κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
συγγενέσιν φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν.
φίλτατε, μητρυιῇι διὰ πάντος ὑπήκοος ἔστω·
μητέρα δ' ὥς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων· γενεῇι δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσι·
δούλωι τακτὰ νέμοις, ἵνα τοί καταθύμιος εἴη.
στίγματα μὴ γράψηις, ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψηις τι κακηγορέων πρὸς ἄνακτα.

Pseudo-Phocylides Sententiae